## ΠΡΟΒΛΗΜΑ ΙΓ

*Περὶ τοῦ ἐν τῇ τρίτῃ ῥαψῳδίᾳ τῆς Ἰλιάδος ἀντινομικοῦ ζητήματος*

Collocuntur Protogenes, Plutarchus, Sospis, Glaucias

**1.** ‘Τίν’’ ἔφη ‘ταύτην;’ ‘ἐγώ σοι φράσω’ εἶπον ‘ἅμα
E καὶ τούτοις προβάλλων· διὸ τὸν νοῦν ἤδη προσεχέτωσαν. ὁ γὰρ Ἀλέξανδρος ἐπὶ ῥητοῖς δήπου πεποίηται τὴν πρόκλησιν οὕτως· (Γ 69)

‘αὐτὰρ ἔμ’ ἐν μέσσῳ καὶ ἀρηίφιλον Μενέλαον
συμβάλετ’ ἀμφ’ Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
κτήμαθ’ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ’ ἀγέσθω·’

καὶ πάλιν ὁ Ἕκτωρ ἀναγορεύων καὶ τιθεὶς εἰς μέσον πᾶσι τὴν πρόκλησιν αὐτοῦ μονονουχὶ τοῖς αὐτοῖς ὀνόμασιν κέχρηται· (Γ 88—91. 255)

‘ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
F τεύχεα κάλ’ ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸν δ’ ἐν μέσσῳ καὶ ἀρηίφιλον Μενέλαον
⟨οἴους ἀμφ’ Ἑλένῃ καὶ⟩ κτήμασι πᾶσι μάχεσθαι.
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ’ ἕποιτο.’

δεξαμένου δὲ τοῦ Μενελάου, ποιοῦνται τὰς συνθήκας ἐνόρκους, ἐξάρχει δ’ ὁ Ἀγαμέμνων· | (Γ 281 s. 284. 72)

742 ‘εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
αὐτὸς ἔπειθ’ Ἑλένην ἀγέτω καὶ κτήματα πάντα.
εἰ δέ κ’ Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,
κτήμαθ’ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ’ ἀγέσθω.’

ἐπεὶ τοίνυν ἐνίκησεν μὲν οὐκ ἀνεῖλεν δ’ ὁ Μενέλαος, μετα-